# Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ
## ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Ι: Βασιλεῦ οὐράνιε, παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλίδος καὶ σῶσον, ᾿Αγαθέ, τὰς ψυχὰς ἡμῶν.

Δόξα ἐν ὑψίστοις Θεῷ,
καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. (3)

Κύριε, τὰ χείλη μου ἀνοίξεις,
καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. (2)

Μετὰ τὴν συμπλήρωσιν τῆς Μεγάλης Δοξολογίας καὶ τοῦ ἑπομένου τροπαρίου ( ἢ ἑνὸς ᾿Ακαθίστου) ὁ ῾Ιερεὺς λαμβάνει τὸ ἅγιον Εὐαγγέλιον καί, ὑψῶν αὐτὸ μὲ ἀμφοτέρας τὰς χεῖρας καὶ ποιῶν τύπον Σταυροῦ δι᾿ αὐτοῦ ἐπὶ τοῦ ᾿Αντιμηνσίου, ἀναγγέλει τὴν πρώτην ἐκφώνησιν τῆς Θείας Λειτουργίας.

### Ἔναρξις

Ι: **Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ῾Αγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Χ: **᾿Αμήν.**

Τὴν περίοδον τοῦ Πάσχα

Ι: Χριστὸς ἀνέστη ἐκ νεκρῶν,
θανάτῳ θάνατον πατήσας,
καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωήν χαρισάμενος. (2)

Χριστὸς ἀνέστη ἐκ νεκρῶν,
θανάτῳ θάνατον πατήσας,
Χ: καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

῾Ο ῾Ιερεὺς ἐναποθέτει εὐλαβῶς τὸ ῾Ιερὸν Εὐαγγέλιον ἐπὶ τοῦ᾿ Αντιμηνσίου.

## Ἡ Μεγάλη Συναπτὴ

I: **Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **Ὑπὲρ τοῦ πατρὸς καὶ Ἀρχιεπισκόπου** (ἢ ἐπισκόπου) **ἡμῶν .........., τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **Ὑπὲρ τῆς μητρὸς ἡμῶν ........, Ἡγουμένης τῆς ἁγίας Μονῆς τῆς Λαύρας Μαμβρῆ, καὶ τῆς συνοδίας αὐτῆς, τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **Ὑπὲρ τοῦ Προέδρου τῆς Δημοκρατίας ταύτης, καὶ πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῇ, τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **Ὑπὲρ τῆς πόλεως καὶ κοινότητος ταύτης, πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, ἀεροπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.**
X: **Κύριε, ἐλέησον.**

I: **Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας...**
X: **Ὑπεραγία Θεοτόκε, πρέσβευε ὑπὲρ ἡμῶν.**

I: **...μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.**
X: **Σοί, Κύριε.**

## Ἡ Προσευχὴ τοῦ Πρώτου Ἀντιφώνου

I: Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον καὶ ἡ δόξα ἀκατάληπτος· οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτὸς Δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν σου, ἐπίβλεψον ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον καὶ ποίησον μεθ᾽ ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

**Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**

## Τὸ Πρῶτον Ἀντίφωνον

X: **Ταῖς πρεσβείαις τῆς Θεοτόκου,**
**Σῶτερ, σῶσον ἡμᾶς.**
**Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι.**
**Ταῖς πρεσβείαις τῆς Θεοτόκου,**
**Σῶτερ, σῶσον ἡμᾶς.**
**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**
**Ἀμήν.**
**Ταῖς πρεσβείαις τῆς Θεοτόκου,**
**Σῶτερ, σῶσον ἡμᾶς.**

Εἰς τὰς Δεσποτικὰς καὶ Θεομητορικὰς ἑορτὰς ψάλλονται τὰ κατάλληλα ἀντίφωνα τῆς ἑορτῆς. Τὰς Κυριακὰς συνήθως ψάλλεται καὶ ὁ Ψαλμὸς 102.

## Μικρὰ Συναπτή

I: **Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.**
X: **Κύριε, ἐλέησον.**

I: **Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας...**

X: **Ὑπεραγία Θεοτόκε, πρέσβευε ὑπὲρ ἡμῶν.**

I: **... μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.**

X: **Σοί, Κύριε.**

### Ἡ Προσευχὴ τοῦ Δευτέρου Ἀντιφώνου

I: Κύριε, ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

**Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**

## Τὸ Δεύτερον ᾿Αντίφωνον

Χ: **Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ,**
**ὁ ἀναστὰς ἐκ νεκρῶν,***
**ψάλλοντάς σοι· ᾿Αλληλούϊα.** (2)

* (Καθημερινῶς εἰς ἑορτὴν ἁγίου... **ὁ ἐν ἁγίοις θαυμαστός,**
Διὰ τὰ Χριστούγεννα... **ὁ ἐκ Παρθένου τεχθείς,**
Διὰ τὴν Περιτομὴν... **ὁ σαρκὶ περιτμηθεὶς,**
Διὰ τὰ Θεοφάνεια... **ὁ ἐν ᾿Ιορδάνῃ ὑπὸ ᾿Ιωάννου βαπτισθείς,**
Διὰ τὴν ῾Υπαπαντήν... **ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βαστασχθείς,**
Διὰ τὴν τοῦ Σταυροῦ... **ὁ σαρκὶ σταυρωθείς.**
Διὰ τὴν ᾿Ανάληψιν... **ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ᾽ ἡμῶν εἰς τοὺς οὐρανούς,**
Διὰ τὴν Πεντηκοστήν... **Παράκλητε ἀγαθέ,** (δὲν λέγομεν Υἱὲ Θεοῦ)
Διὰ τὴν Μεταμόρφωσιν... **ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς**

Διὰ τὰς μεγάλας ῾Εορτὰς ψάλλονται τὰ κατάλληλα ἀντίφωνα. Μὲ τὸ δεύτερον ᾿Αντίφωνον συνήθως ψάλλεται καὶ ὁ Ψαλμὸς 145.

Χ: **Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ῾Αγίῳ Πνεύματι,**
**καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**
**᾿Αμήν.**

**῾Ο μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ**
**ἀθάνατος ὑπάρχων,**
**καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν,**
**σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου**
**καὶ ἀειπαρθένου Μ αρίας,**
**ἀτρέπτως ἐνανθρωπήσας·**
**σταυρωθείς τε, Χριστὲ ὁ Θεός,**
**θανάτῳ θάνατον πατήσας·**
**εἷς ὢν τῆς ῾Αγίας Τριάδος,**
**συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ῾Αγίῳ Πνεύματι,**
**σῶσον ἡμᾶς.**

## Μικρὰ Συναπτή

I: **Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.**
X: **Κύριε, ἐλέησον.**

I: **Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας...**
X: **Ὑπεραγία Θεοτόκε, πρέσβευε ὑπὲρ ἡμῶν.**

I: **...μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.**
X: **Σοί, Κύριε.**

## Ἡ Προσευχὴ τοῦ Τρίτου Ἀντιφώνου

I: Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δυσὶ καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

**Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**

## Τὸ Τρίτον ᾿Αντίφωνον
## Οἱ Μακαρισμοί

Χ: ᾿Εν τῇ βασιλείᾳ σου μνήσθητι ἡμῶν, Κύριε,
ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι,
ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.
Μακάριοι οἱ πενθοῦντες,
ὅτι αὐτοὶ παρακληθήσονται.
Μακάριοι οἱ πραεῖς,
ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.
Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην,
ὅτι αὐτοὶ χορτασθήσονται.
Μακάριοι οἱ ἐλεήμονες,
ὅτι αὐτοὶ ἐλεηθήσονται.
Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ,
ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.
Μακάριοι οἱ εἰρηνοποιοί,
ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.
Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης,
ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.
Μακάριοι ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι
καὶ εἴπωσι πᾶν πονηρὸν ρῆμα καθ' ἡμῶν,
ψευδόμενοι, ἕνεκεν ἐμοῦ.
Χαίρετε καὶ ἀγαλλιάσθε,
ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ῾Αγίῳ Πνεύματι,
καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.᾿Αμήν.

X: **Τὸ Τροπάριον τῆς ἡμέρας**

Ὅταν ὁ Χορὸς ψάλλει τὸ Δόξα τῶν Μακαρισμῶν ἢ τὸ Τροπάριον τοῦ Τρίτου Ἀντιφώνου, ὁ Λειτουργὸς ποιεῖ τρία προσκυνήματα ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, προσκυνεῖ καὶ λαμβάνει τὸ ἱερὸν Εὐαγγέλιον, περι-έρχεται τὴν ἁγίαν Τράπεζαν ἐκ του δεξιοῦ μέρους, καὶ ἐξέρχεται τοῦ ἱεροῦ Βήματος διὰ τῆς πρὸς βορρᾶν πύλης, προπορευομένων αὐτοῦ τῶν ἱεροπαίδων μετὰ λαμπάδων, ἐξαπτερύγων καὶ τοῦ Σταυροῦ, διὰ τὴν Μικρὰν Εἴσοδον, ἡ ὁποία καταλήγει ἔμπροσθεν τῆς Ὡραίας Πύλης.

## Ἡ Μικρὰ Εἴσοδος

I: Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων, εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συν-δοξολογούντων τὴν σὴν ἀγαθότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Λειτουργὸς διὰ τῆς δεξιᾶς σφραγίζει διὰ σταυροῦ πρὸς τὴν Ὡραίαν Πύλην, καὶ λέγει.

I: **Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Ἀφοῦ συμπληρώσει ὁ Χορὸς τὸ τελευταῖον τροπάριον, ὁ Λειτουργὸς ὑψώνει τὸ ἱερὸν Εὐαγγέλιον, ποιεῖ σημεῖον σταυροῦ δι᾿ αὐτοῦ καὶ ἐκφωνεῖ μελωδικῶς.

I: **Σοφία! Ὀρθοί!**

Ὁ Λειτουργὸς εἰσέρχεται εἰς τὸ ἱερὸν Βῆμα, ἀσπάζεται τὸ ἱερὸν Εὐαγγέλιον καὶ τίθησιν αὐτὸ ἐπὶ τῆς ἁγίας Τραπέσης. Συμψάλλει δὲ μετὰ τοῦ Λαοῦ.

## Τὸ Εἰσοδικὸν

X: **Δεῦτε προσκυνήσωμεν**
**καὶ προσπέσωμεν Χριστῷ.**
**Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ,**
**ὁ ἀναστὰς ἐκ νεκρῶν, ***
**ψάλλοντάς σοι· ᾿Αλληλούϊα.**

* (Εἰς καθημερινὴν ἑορτὴν ἁγίου... **ὁ ἐν ἁγίοις θαυμαστός,**
Διὰ τὰ Χριστούγεννα... **ὁ ἐκ Παρθένου τεχθείς,**
Διὰ τὴν Περιτομὴν... **ὁ σαρκὶ περιτμηθεὶς,**
Διὰ τὰ Θεοφάνεια... **ὁ ἐν ᾿Ιορδάνῃ ὑπὸ ᾿Ιωάννου βαπτισθείς,**
Διὰ τὴν ῾Υπαπαντήν... **ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βαστασχθείς,**
Διὰ τὴν τοῦ Σταυροῦ... **ὁ σαρκὶ σταυρωθείς.**
Διὰ τὴν ᾿Ανάληψιν... **ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ᾿ ἡμῶν εἰς τοὺς οὐρανούς,**
Διὰ τὴν Πεντηκοστήν... **Παράκλητε ἀγαθέ,** (δὲν λέγομεν Υἱὲ Θεοῦ)
Διὰ τὴν Μεταμόρφωσιν... **ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς**)

X: - ᾿Αναστάσιμον τροπάριον ἢ τῆς ἑορτῆς
- Τροπάριον τοῦ ἁγίου τῆς ἡμέρας
- Τροπάριον τῆς ἐκκλησίας
- Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ῾Αγίῳ Πνεύματι.
- Κοντάκιον
- Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.
- Κοντάκιον ἢ Θεοτόκιον

## Θεοτοκίον

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχηντε,
μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε,
μὴ παρίδης ἁμαρτωλῶν δεήσεων φωνάς·
ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν,
τῶν πιστῶς κραυγαζόντων σοι·
Τάχυνον εἰς πρεσβείαν καὶ σπεῦσον εἰς ἱκεσίαν,
ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμόντων σε.

I: **Τοῦ Κυρίου δεηθῶμεν.**

X: **Κύριε, ἐλέησον.**

Ὁ Ἱερεὺς λέγει μυστικῶς τὴν ἑπομένην εὐχήν.

### Ἡ Εὐχὴ τοῦ Τρισαγίου Ὕμνου

I: Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφεὶμ ἀνυμνούμενος καὶ ὑπὸ τῶν Χερουβεὶμ δοξολογούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπατα· ὁ κτίσας τὸν ἄνθρωπον κατ᾽ εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ παντί σου χαρίσματι κατακοσμήσας· ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου καὶ ἐν τῇ ὥρα ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτός, Δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων, τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων.

**Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**

## Ὁ Τρισάγιος Ὕμνος

X: **Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός,**
**ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.** (3)

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι,**
**καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**
**Ἀμήν.**

**Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.**

I: **Δύναμις!**

X: **Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός,**
**ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.**

Εἰς τὰς ἑορτὰς τῆς Γεννήσεως, τῶν Θεοφανείων, τῆς ἑπομένης καὶ τῆς Αποδόσεως αὐτῶν, τοῦ Λαζάρου, τοῦ Μεγάλου Σαββάτου, τοῦ Πάσχα καὶ τῆς Διακαινησίμου Ἑβδομάδος μέχρι τῆς ἀποδόσεως τοῦ Πάσχα, τῆς Πεντηκοστῆς καὶ μέχρι τῆς ἀποδόσεως αὐτῆς, ἀντὶ τοῦ Τρισαγίου Ὕμνου ψάλλεται:

X: Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε,
Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα. (3)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι,
καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. Ἀμήν.

Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα.

I: Δύναμις!

X: Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε,
Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα.

Εἰς τὰς ἑορτὰς τοῦ Τιμίου Σταυροῦ καὶ τὰς ἀποδόσεις αὐτῶν, καὶ τῆς Κυριακῆς τῆς Σταυροπροσκυνήσεως κατὰ τὴν μεγάλην Τεσσαρακοστὴν ψάλλεται·

X: Τὸν Σταυρόν σου προσκυνοῦμεν, Δέσποτα, καὶ τὴν ἁγίαν σου ἀνάστασιν δοξάζομεν. (3)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ τὴν ἁγίαν σου ἀνάστασιν δοξάζομεν.

I: Δύναμις!

X: Τὸν Σταυρόν σου προσκυνοῦμεν, Δέσποτα, καὶ τὴν ἁγίαν σου ἀνάστασιν δοξάζομεν.

Ὁ Ἱερεὺς προσκυνεῖ τρὶς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, καὶ στρέφων πρὸς τὴν Πρόθεσιν λέγει χαμηλοφώνως:

I: Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στρέφων πάλιν πρὸς τὴν ἁγίαν Τράπεζαν καὶ εὐλογῶν, λέγει:

I: Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ καθήμενος ἐπὶ τῶν Χερουβείμ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Ἡ Ἀνάγνωσις τοῦ Ἀποστόλου

Ὁ Ἱερεὺς ἵσταται εἰς τὴν θέσιν τῆς Καθέδρας, ὅπου συνήθως ἵσταται ὁ Ἐπίσκοπος, βλέπων πρὸς τὸν λαόν. Ὁ δὲ Ἀναγνώστης λαμβάνει τὸν Ἀπόστολον (παρὰ τοῦ Ἱερέως), καὶ ἵσταται ἐν τῷ μέσῳ τοῦ σολέα, βλέπων πρὸς τὸ ἱερὸν Βῆμα.

I: **Πρόσχωμεν!**

A: ᾿Απαγγέλει τὸ Προκείμενον τῆς ἡμέρας.

I: **Σοφία!**

A: **Πράξεων τῶν᾿ Αποστόλων...** ἤ
**Πρὸς .......᾿ Επιστολῆς Παύλου...** ἤ
**Καθολικῆς᾿ Επιστολῆς....... τὸ ἀνάγνωσμα.**

I: **Πρόσχωμεν!**

A: ᾿Αναγινώσκει τὴν τεταγμένην περικοπήν.
῾Ο ῾Ιερεὺς θυμιᾷ συντόμως τὴν ἁγίαν Τράπεζαν, τὸ ἱερὸν Βῆμα, τὸν κλῆρον, καὶ ἀναγινώσκει χαμηλοφώνως τὴν εὐχὴν τοῦ Εὐαγγελίου.

I: ῎Ελλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. ῎Ενθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας πάσας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες.

Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

Μετὰ τὸ πέρας τῆς ἀναγνώσεως, ὁ ῾Ιερεὺς εὐλογεῖ τὸν ἀναγνώστην.

I: **Εἰρήνη σοι τῷ ἀναγινώσκοντι.**

A: **Καὶ τῷ πνεύματί σου.**

X: **᾿Αλληλούϊα! ᾿Αλληλούϊα! ᾿Αλληλούϊα!**
*(Μετὰ τῶν καταλλήλων στίχων.)*

## Ἡ Ἀνάγνωσις τοῦ Εὐαγγελίου

I: **Σοφία! Ὀρθοί!**
**Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.**
**Εἰρήνη πᾶσι.** (Εὐλογία τοῦ λαοῦ)

X: **Καὶ τῷ πνεύματί σου.**

I: **Ἐκ τοῦ κατὰ** (Ματθαῖον, Μᾶρκον, Λουκᾶν, Ἰωάννην) **ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.**

X: **Δόξα σοι, Κύριε, δόξα σοι.**

I: **Πρόσχωμεν!**

Ὁ Ἱερεὺς ἀναγινώσκει τὴν εὐαγγελικὴν περικοπήν, καὶ εἰς τὸ τέλος εὐλογεῖ τὸν λαὸν διὰ τοῦ Εὐαγγελίου.

X: **Δόξα σοι, Κύριε, δόξα σοι.**

Ὁ Ἱερεὺς τοποθετεῖ τὸ ἱερὸν Εὐαγγέλιον ἐπὶ τῆς ἁγίας Τραπέζης καὶ προσφωνεῖ τὸν θεῖον Λόγον ἀπὸ τὴν Ὡραίαν Πύλην. Μετὰ τὴν ὁμιλίαν κλείεται ἡ Ὡραία Πύλη καὶ λέγεται ἡ μεγάλη ἐκτενὶς δέησις. Κατὰ τὴν διάρκειαν τῆς Λειτανίας ὁ Λειτουργὸς ποιεῖ σταυρὸν διὰ τοῦ Εὐαγγελίου ἐπὶ τοῦ Ἀντιμηνσίου, ἐναποθέτει τὸ Εὐαγγέλιον ἔμπροσθεν τοῦ Κοιβωρίου καὶ ἐκτυλίσει ἐν μέρει τὸ Ἀντιμήνσιον.

## Ἡ Λειτανία τῆς Ἐκτενοῦς Δεήσεως

I: **Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν, εἴπωμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **Κύριε, παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.**
X: **Κύριε, ἐλέησον.**

I: **Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἐλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.**

X: **Κύριε, ἐλέησον.** (3)

I: **Ἔτι δεόμεθα ὑπὲρ τοῦ πατρὸς καὶ Ἀρχιεπισκόπου** (ἢ ἐπισκόπου) **ἡμῶν.........., τῶν ἱερέων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.**

X: **Κύριε, ἐλέησον.** (3)

I: **Ἔτι δεόμεθα ὑπὲρ τῆς Μητρὸς ἡμῶν ........, Ἡγουμένης τῆς ἱερᾶς Μονῆς Λαύρας Μαμβρῆ, καὶ τῆς συνοδίας αὐτῆς.**

X: **Κύριε, ἐλέησον.** (3)

I: **Ἔτι δεόμεθα ὑπὲρ τοῦ Προέδρου τῆς Δημοκρατίας ταύτης, καὶ πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῇ.**

X: **Κύριε, ἐλέησον.** (3)

I: **Ἔτι δεόμεθα ὑπερ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ............**

X: **Κύριε, ἐλέησον.** (3)

I: **Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης,** ( τοῦ ἁγίου τούτου Μοναστηρίου Χόγκαρ), **καὶ ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ.........., καὶ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθᾶδε καὶ ἁπανταχοῦ εὐσεβῶς κειμένων.**

X: **Κύριε, ἐλέησον.** (3)

I: **Ἔτι δεόμεθα ὑπὲρ τῶν συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου Ναοῦ τούτου, καὶ πάντων τῶν καρποφο-ρούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ**

**πανσέπτῳ ναῷ τούτῳ, κοπιόντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρά σου μέγα καὶ πλούσιον ἔλεος.**

X: **Κύριε, ἐλέησον.** (3)

I: Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ᾿ ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

**Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**

Ἡ δέησις ὑπὲρ τῶν κεκοιμημένων λέγεται ἐδῶ, ἐκτὸς ἐὰν εἶναι Κυριακὴ ἢ ἡμέρα ἑορτῆς.

## Δέησις καὶ Εὐχὴ τῶν Κατηχουμένων

Ὅταν ὑπάρχουν Κατηχούμενοι, λέγονται καὶ αἱ ἑξῆς εὐχαί.

I: **Εὔξασθε οἱ Κατηχούμενοι τῷ Κυρίῳ.**

X: **Κύριε, ἐλέησον.**

Ὁ Χορὸς ἐπαναλαμβάνει τὸ Κύριε ἐλέησον, χωρὶς διακοπήν, μετὰ ἀπὸ κάθε δέησιν.

I: **Οἱ Πιστοὶ ὑπὲρ τῶν Κατηχουμένων δεηθῶμεν.**
**Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ·**
**Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας·**
**Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης·**
**Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.**
**Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.**
**Οἱ Κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.**

K: **Σοι, Κύριε.**

I: Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ διὰ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας, τὸν μονογενῆ σου Υἱὸν καὶ Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς Κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα· καὶ καταξίωσον αὐτούς, ἐν καιρῷ εὐθέτῳ, τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου, καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ.

**Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**

Ὁ Ἱερεὺς, λαμβάνων τὸ ἱερὸν Εὐαγγέλιον καὶ σφραγίζων δι᾽ αὐτοῦ σταυροειδῶς τὸ πεπτυγμένον Ἀντιμήνσιον, ἐκτυλίσσει αὐτὸ πλήρως καὶ ἐξαπλώνει ἐπὶ τῆς ἁγίας Τραπέζης, τὸ δὲ ἱερὸν Εὐαγγέλιον ἀποτίθησιν ἐν τῷ ἐπάνῳ μέρει αὐτῆς.

I: **Ὅσοι Κατηχούμενοι προέλθετε·**
**Οἱ Κατηχούμενοι προέλθετε·**
**Ὅσοι Κατηχούμενοι προέλθετε.**
**Μή τις τῶν Κατηχουμένων.**

***

## Η ΛΕΙΤΟΥΡΓΙΑ ΤΩΝ ΠΙΣΤΩΝ

### Ἡ Πρώτη Εὐχὴ τῶν Πιστῶν

I: **Ὅσοι πιστοί, ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.**

Χ: **Κύριε, ἐλέησον.**

I: Εὐχαριστοῦμεν σοι, Κύριε, ὁ Θεὸς τῶν Δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Πρόσδεξαι, ὁ Θεός, τὴν δέησιν ἡμῶν· ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου· καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ Ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπτως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ· ἵνα, εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης, ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

**Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.**

Χ: **Κύριε, ἐλέησον.**

I: **Σοφία!**

**Οτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Χ: **Ἀμήν.**

## Ἡ Δευτέρα Εὐχὴ τῶν Πιστῶν

I: **Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.**

Χ: **Κύριε, ἐλέησον.**

I: Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε Θεέ, ὅπως, ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ δῴης ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. Χάρισαι δέ, ὁ Θεός, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου καὶ πίστεως καὶ συνέσεως πνευματικῆς· δὸς αὐτοῖς πάντοτε μετὰ φόβου καὶ ἀγάπης λατρεύειν σοι, ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων, καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

**Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.**

Χ: **Κύριε, ἐλέησον.**

I: **Σοφία!**

**Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Χ: **Ἀμήν.**

## Ὁ Χερουβικὸς Ὕμνος

Χ: **Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες**
**καὶ τῇ ζωοποιῷ Τριάδι**
**τὸν τρισάγιον ὕμνον προσᾴδοντες,**
**πᾶσαν τὴν βιοτικὴν ἀποθώμεθα μέριμναν,**
**ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξόμενοι...**

Ι: Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι, βασιλεῦ τῆς δόξης. Τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίαις δυνάμεσιν. Ἀλλ᾽ ὅμως, διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς δεσπότης τῶν ἁπάντων. Σὺ γὰρ μόνος, Κύριε, ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφεὶμ Κύριος καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ, τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· ἐπίβλεψον ἐπ᾽ ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου Σῶμα καὶ τὸ τίμιον Αἷμα. Σοὶ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου·

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ᾽ ἀξίωσον προσενεχθῆναί σοι ὑπ᾽ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἱερεὺς λέγει χαμηλοφώνως τὸν Χερουβικὸν Ὕμνον τρίς.

I: Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες
καὶ τῇ ζωοποιῷ Τριάδι
τὸν τρισάγιον ὕμνον προσᾴδοντες,
πᾶσαν τὴν βιοτικὴν ἀποθώμεθα μέριμναν,
ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξόμενοι...
Ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν.
Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.

Ὁ Ἱερεὺς εὐλογεῖ τὸ θυμίαμα καὶ θυμιᾶ τὴν ἁγίαν Τράπεζαν, τὸ ἱερὸν Βῆμα, τὰς εἰκόνας, τὸν λαὸν, καὶ λέγει καθ' ἑαυτὸν τὸν 50ον Ψαλμὸν μέχρι τὸν 17ον στίχον. Προσκυνεῖ τρὶς καὶ ἀσπάζεται τὸ Ἀντιμήνσιον καὶ προσκυνεῖ πάλιν τρίς, καὶ στραφεὶς πρὸς τὸν λαὸν ὑποκλίνεται καὶ ζητᾶ συγχώρησιν.

Ἀδελφοί, συγχωρήσατέ μοι, τῷ ἁμαρτωλῷ.
ΟΛΟΙ: (σιωπιλῶς) Ὁ Θεὸς συγχωρήσαι καὶ ἐλεήσαι σέ.

Ὁ Ἱερεὺς προχωρεῖ εἰς τὴν Πρόθεσν ὅπου θυμιᾶ τὰ Τίμια Δῶρα, ἀσπάζεαι αὐτά, προσκυνεῖ τρὶς καὶ λέγει.

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Ὁ Ἱερεὺς παραλαμβάνει τὰ Τίμια Δῶρα καὶ προχωρεῖ διὰ τὴν Μεγάλην Εἴσοδον, προπορευομένων τῶν λαμπαδοφόρων καὶ τοῦ Σταυροῦ.

## Ἡ Μεγάλη Εἴσοδος

I: **Πάντων ὑμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**

(Οἱ πιστοὶ ὑποκλίνοντες μετ᾿ εὐλαβείας τὰς κεφαλὰς καὶ προσκυνοῦντες λέγουσι καθ᾿ ἑαυτῶν:
Μνήσθητί μου Κύριε ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.)

I: **Τοῦ Πατρὸς καὶ Ἀρχιεπισκόπου** (ἢ ἐπισκόπου) **ἡμῶν ......., καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος, μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**

I: **Τῆς Μητρὸς ἡμῶν............, ἡγουμένης τῆς ἱερᾶς Μονῆς τῆς Λαύρας Μαμβρῆ, καὶ τῆς συνοδίας αὐτῆς, μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**

I: **Τοῦ προέδρου τῆς Δημοκρατίας ταύτης, καὶ πάσης ἀχρῆς καὶ ἐξουσίας ἐν αὐτῇ, μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**

I: **Πάντων τῶν ἱδρυτῶν καὶ εὐεργετῶν τοῦ Ἁγίου Ναοῦ τούτου, μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ τῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**

I: **Ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ........**(ζώντων)**, μνησθείη αὐτῶν Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**

I: **Πάντων τῶν ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου προαναπαυσαμένων δούλων τοῦ Θεοῦ........** (κεκοιμημένων), **μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Χ: **᾽Αμήν.**

Ι: **Πάντων ὑμῶν καὶ πάντων τῶν εὐσεβῶν καὶ ᾽Ορθοδόξων Χριστιανῶν, μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Χ: **᾽Αμήν.**

ΟΛΟΙ: (σιωπιλῶς) Σὲ τὸν Λειτουργὸν αὐτοῦ, μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ᾽Αμήν.

Χ: **...Ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν.**
**᾽Αλληούϊα, ᾽Αλληλούϊα, ᾽Αλληλούϊα.**

῾Ο ῾Ιερεὺς ἀποτίθησι τὸ ἅγιον Ποτήριον δεξιὰ καὶ τὸν ἅγιον Δίσκον ἀριστερὰ ἐπὶ τῆς ἁγίας Τραπέζης ἐπιλέγων τὰ τροπάρια.

Ι: ῾Ο εὐσχήμων ᾽Ιωσὴφ,
ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα,
σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν,
ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.
᾽Εν τάφῳ σωματικῶς,
ἐν ᾅδου δὲ μετὰ ψυχῆς ὡς Θεός·
ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ,
καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστέ,
μετὰ Πατρὸς καὶ Πνεύματος,
πάντα πληρῶν ὁ ἀπερίγραπτος.
῾Ως ζωηφόρος, ὡς παραδείσου ὡραιότερος,
ὄντως καὶ παστάδος πάσης βασιλικῆς,
ἀναδέδεικται λαμπρότερος, Χριστέ, ὁ τάφος σου,
ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

Ὁ Ἱερεὺς ἀποκαλύπτει τὸν Δίσκον καὶ τὸ Ποτήριον, τὰ σκεπάζει διὰ τοῦ Ἀέρος, καὶ τὰ θυμιᾷ λέγων καὶ τὰ ἑξῆς.

I: Ὁ εὐσχήμων Ἰωσὴφ,
ἀπὸ τοῦ ξύλου καθελῶν τὸ ἄχραντόν σου σῶμα,
σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν,
ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Ἀγάθηνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών,
καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης,
ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Κλείνεται ἡ Ὡραία Πύλη.

## Τὰ Πληρωτικὰ Αἰτήματα τῶν Πιστῶν

I: **Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.**
X: **Κύριε, ἐλέησον.**

I: **Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων,**
**τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως,**
**εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ,**
**τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς,**
**κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς,**
**ὁ Θεός, τῇ σῇ χάριτι.**
X: **Κύριε, ἐλέησον.**

I: **Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.**
X: **Παράσχου, Κύριε.**

I: **Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.**
X: **Παράσχου, Κύριε.**

I: **Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.**
X: **Παράσχου, Κύριε.**

I: **Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.**
X: **Παράσχου, Κύριε.**

I: **Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.**
X: **Παράσχου, Κύριε.**

I: **Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.**
X: **Παράσχου, Κύριε.**

I: **Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας...**
X: **Ὑπεραγία Θεοτόκε πρέσβευε ὑπὲρ ἡμῶν.**

I: **... μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.**
X: **Σοί, Κύριε.**

## **Εὐχὴ τῆς Προσκομιδῆς**

I: Κύριε, ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου.

**Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**

Ὁ Ἱερεὺς βλέπων πρὸς τὸν λαὸν εὐλογεῖ αὐτὸν καὶ λέγει.

I: **Εἰρήνη πᾶσι.**

X: **Καὶ τῷ πνεύματί σου.**

I: **Ἀγαπήσωμεν ἀλλήλους,**
**ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.**

X: **Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα,**
**Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.**

Ὁ Ἱερεὺς προσκκυνεῖ τρίς, ἀσπάζεται τὰ Τίμια Δῶρα, τὴν ἁγίαν Τράπεζαν, λέγων καθ᾽ ἑαυτόν.

Ι: Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου.
Κύριος στερέωμά μου, καὶ καταφυγή μου
καὶ ῥύστης μου.

Προσκυνῶ Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα,
Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ἐνταῦθα γίνεται ὁ ἀσπασμὸς τῆς ἀγάπης καὶ τῆς εἰρήνης τῶν συλλειτουργούντων Ἱερέων. Ὁ πρῶτος λέγει· Ὁ Χριστὸς ἐν τῷ μέσῳ ἡμῶν. Ὁ δεύτερος ἀπαντᾷ· Καὶ ἦν, καὶ ἔστι καὶ ἔσται.

Ι: **Τὰς θύρας, τὰς θύρας!**
**ἐν σοφίᾳ πρόσχωμεν!**

Ἀνοίγεται ἡ Ὡραία Πύλη. Ὁ Ἱερεὺς ἄρας τὸν Ἀέρα ἀπὸ τῶν ἁγίων Δώρων ἀνασείει αὐτὸν ἐπάνω αὐτῶν, καὶ ἀπαγγέλλει κατ᾽ ἰδίαν τὸ Σύμβολον τῆς Πίστεως.

## Τὸ Σύμβολον τῆς Πίστεως

ΟΛΟΙ:

**Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα,**
**ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ**
**ἀοράτων.**

**Καὶ εἰς ἕνα Κύριον, Ἰησοῦν Χριστόν,**
**τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ,**
**τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων.**
**Φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ,**
**γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί,**
**δι᾽ οὗ τὰ πάντα ἐγένετο.**

**Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν**
**σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν**
**καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου**
**καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.**

**Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα.**
**Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς.**
**Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς**
**καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.**
**Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης**
**κρῖναι ζῶντας καὶ νεκρούς,**
**οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.**

**Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν,**
**τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον,**
**τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον**
**καὶ συνδοξαζόμενον,**
**τὸ λαλῆσαν διὰ τῶν Προφητῶν.**
**Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.**
**Ὁμολογῶ ἕν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.**
**Προσδοκῶ ἀνάστασιν νεκρῶν,**
**καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.**

## Ἡ Ἁγία Ἀναφορά

I: **Στῶμεν καλῶς! Στῶμεν μετὰ φόβου!**
**Πρόσχωμεν, τὴν ἁγίαν ἀναφορὰν**
**ἐν εἰρήνῃ προσφέρειν!**

X: **Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.**

I: **Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ**
**καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς**
**καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος,**
**εἴη μετὰ πάντων ὑμῶν.**

X: **Καὶ μετὰ τοῦ πνεύματός σου.**
I: **Ἄνω σχῶμεν τὰς καρδίας!**

X: **Ἔχομεν πρὸς τὸν Κύριον!**

I: **Εὐχαριστήσωμεν τῷ Κυρίῳ!**

X: **Ἄξιον καὶ δίκαιον ἐστί,**
**σὲ προσκυνεῖν, Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα,**
**Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.**

Κλείεται ἡ Ὡραία Πύλη. Οἱ πιστοὶ γωνατίζουν ἐὰν εἶναι καθημερινή.

### Ἡ Μεγάλη Εὐχαριστιακὴ Προσευχή

I: Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν, σὺ καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμα σου τὸ Ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες, καὶ παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι καὶ τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ Πνεύματί σου τῷ Ἁγίῳ, ὑπὲρ πάντων ὧν ἴσμεν καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν, τῶν εἰς ἡμᾶς γεγενημένων.

Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας, καίτοι σοι παρεστήκασι χιλιάδες ἀρχαγγέλων καὶ μυριάδες ἀγγέλων, τὰ Χερουβεὶμ καὶ τὰ Σεραφείμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια πτερωτά...

**...Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα,**
**βοῶντα, κεκραγότα καὶ λέγοντα...**

X: **Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ·**
**πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου.**
**Ὡσαννὰ ἐν τοῖς ὑψίστοις·**
**εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.**
**Ὡσαννά, ὁ ἐν τοῖς ὑψίστοις.**

I: Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν· Ἅγιος εἶ καὶ πανάγιος, Σὺ καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμα σου τὸ Ἅγιον. Ἅγιος εἶ καὶ πανάγιος καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν Υἱὸν Σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον...

Ὃς ἐλθὼν καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσίν, εὐχαριστήσας καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών...

**Λάβετε, φάγετε· τοῦτό μού ἐστι τὸ Σῶμα,**
**τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.**

X: **Ἀμήν.**

I: Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων...

**Πίετε ἐξ αὐτοῦ πάντες·**
**τοῦτό ἐστι τὸ Αἷμά μου, τὸ τῆς καινῆς Διαθήκης,**
**τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον**
**εἰς ἄφεσιν ἁμαρτιῶν.**

X: **Ἀμήν.**

I: Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀνα-βάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας...

Ὁ Ἱερεὺς ὑψῶν σταυροειδῶς, διὰ τῆς δεξιᾶς τὸ ἅγιον Δισκάριον καὶ διὰ τῆς ἀριστερᾶς τὸ ἅγιον Ποτήριον, ἐκφωνεῖ.

I: **Τὰ σὰ ἐκ τῶν σῶν, σοὶ προσφέρομεν,**
**κατὰ πάντα καὶ διὰ πάντα.**

X: **Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν,**
**σοὶ εὐχαριστοῦμεν, Κύριε,**
**καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.**

## Ἐπίκλησις τοῦ Ἁγίου Πνεύματος καὶ ὁ καθαγιασμὸς τῶν τιμίων Δώρων

Ὁ Ἱερεὺς ἐναποθέτει τὰ τίμια Δῶρα ἐπὶ τοῦ Ἀντιμηνσίου, προσκυνεῖ τρὶς καὶ λέγει καθ' ἑαυτόν.

I: Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα
ἐν τῇ τρίτῃ ὥρα, τοῖς Ἀποστόλοις σου καταπέμψας,
τοῦτο, Ἀγαθέ, μὴ ἀντανέλῃς ἀφ' ἡμῶν,
ἀλλ' ἐγκαίνισον ἡμῖν τοῖς δεομένοις.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός,
καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα
ἐν τῇ τρίτῃ ὥρα, τοῖς Ἀποστόλοις σου καταπέμψας,
τοῦτο, Ἀγαθέ, μὴ ἀντανέλῃς ἀφ' ἡμῶν,
ἀλλ' ἐγκαίνισον ἡμῖν τοῖς δεομένοις.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου,
καὶ τὸ Πνεῦμα σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.
Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα
ἐν τῇ τρίτῃ ὥρα, τοῖς Ἀποστόλοις σου καταπέμψας,
τοῦτο, Ἀγαθέ, μὴ ἀντανέλῃς ἀφ᾿ ἡμῶν,
ἀλλ᾿ ἐγκαίνισον ἡμῖν τοῖς δεομένοις.

Ὁ Ἱερεὺς, κλίνας τὴν κεφαλήν, μετὰ πάσης κατανύξεως, ἐπεύχεται καὶ ἐπικαλεῖται τὴν κάθοδον τοῦ Ἁγίου Πνεύματος.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμέν σε, καὶ δεόμεθα, καὶ ἱκετεύομεν. Κατάπεμψον τὸ Πνεῦμά σου τὸ Ἅγιον ἐφ᾿ ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

Ὁ Ἱερεύς, εὐλογῶν ἐπάνω τοῦ ἁγίου Ἄρτου, λέγει.

Ι: **Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον,**
**τίμιον Σῶμα τοῦ Χριστοῦ σου.**
ΟΛΟΙ: **Ἀμήν.**

Ὁ Ἱερεύς, εὐλογῶν ἐπάνω τοῦ ἁγίου Ποτηρίου, λέγει.

Ι: **Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ,**
**τίμιον Αἷμα τοῦ Χριστοῦ σου.**
ΟΛΟΙ: **Ἀμήν.**

Ὁ Ἱερεύς, εὐλογῶν σταυροειδῶς ἀμφότερα τὰ τίμια Δῶρα, λέγει.

Ι: **Μεταβαλὼν τῷ Πνεύματί σου τῷ Ἁγίῳ.**
ΟΛΟΙ: **Ἀμήν. Ἀμήν. Ἀμήν.**

Ὁ Ἱερεὺς κλινόμενος βαθαίως ἐπεύχεται.

Ι: Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ Ἁγίου σου Πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν, ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐγκρατευτῶν καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.

Ὁ Ἱερεὺς ἀνίσταται, θυμιᾷ τὰ ἅγια Δῶρα καὶ ἐκφωνεῖ.

Ι: **Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.**

Ὁ Ἱερεὺς θυμιᾷ κύκλῳ τὴν ἁγίαν Τράπεζαν καὶ μνημονεύει, καθ᾽ ἑαυτόν, ὧν ἂν βούληται ζώντων τε καὶ τεθνεώτων, ἐνῷ ὁ Χορὸς ψάλλει.

Χ: **Ἄξιόν ἐστιν ὡς ἀληθῶς,**
**μακαρίζειν σε τὴν Θεοτόκον,**
**τὴν ἀειμακάριστον καὶ παναμώμητον**
**καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν,**
**τὴν τιμιωτέραν τῶν Χερουβεὶμ**
**καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ,**
**τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν,**
**τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.**

Εἰς μεγάλας ἑορτὰς ἀντὶ τοῦ ὕμνου τούτου ψάλλεται τὸ κατάλληλον Μεγαλυνάριον τῆς ἑορτῆς.

Τὴν περίοδον τοῦ Πάσχα

Ὁ ἄγγελος ἐβόα τῇ κεχαριτωμένῃ·
Ἁγνὴ παρθένε χαῖρε καὶ πάλιν ἐρῶ, χαῖρε·
ὁ σὸς υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ·
ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε.
Χόρευε νῦν καὶ ἀγάλλου Σιών·
Σὺ δὲ Ἁγνή, τέρπου Θεοτόκε,
ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ὁ Ἱερεὺς συνεχίζει νὰ ἐπεύχεται.

I: Τοῦ ἁγίου Ἰωάννου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τοῦ ἁγίου ........... οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός.

Καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως, ζωῆς αἰωνίου, ......... (μνημονεύονται οἱ κεκοιμημένοι) καὶ ἀνάπαυσον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

Ἔτι παρακαλοῦμέν σε· μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς Ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος.

Ἔτι προσφέρομέν σοι τὴν λογικήν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης· ὑπὲρ τῆς ἁγίας, καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας· ὑπὲρ τῶν ἐν ἁγνοίᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων· ὑπὲρ τῶν ἀρχόντων ἡμῶν· δὸς αὐτοῖς Κύριε, εἰρηνικὴν τὴν διακυβέρνησιν, ἵνα καὶ ἡμεῖς, ἐν τῇ γαλήνῃ αὐτῶν, ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

I: **᾽Εν πρώτοις, μνήσθητι, Κύριε, τοῦ Πατρὸς καὶ ᾽Αρχιεπισκόπου ἡμῶν.........., ὅν χάρισαι ταῖς ἁγίαις σου ᾽Εκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔν-τιμον, ὑγιειᾶ, μακροημερεύοντα καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.**

Χ: **᾽Αμήν.**

I: **Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει,**
**καὶ πάντων καὶ πασῶν.**

Χ: **Καὶ πάντων καὶ πασῶν.**

I: Μνήσθητι, Κύριε, τῆς πόλεως ταύτης, ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ᾽Εκκλησίαις καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.

Εἴθισται ἐδῶ νὰ εὐλογεῖται σταυροειδῶς ἐπάνω τῶν τιμίων Δώρων τὸ ᾽Αντίδωρον, τὸ ὁποῖον θὰ διανεμηθεῖ εἰς τὸ τέλος τῆς Θείας Λειτουργίας. Μετὰ τὴν εὐλογίαν ὁ ῾Ιερεὺς ἐκφωνεῖ.

I: **Καὶ δὸς ἡμῖν, ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ, δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ῾Αγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Χ: **᾽Αμήν.**

῾Ο῾Ιερεὺς στραφεὶς πρὸς τὸν λαὸν εὐλογεῖ αὐτὸν καὶ λέγει.

I: **Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ**
**καὶ Σωτῆρος ἡμῶν ᾿Ιησοῦ Χριστοῦ,**
**μετὰ πάντων ὑμῶν.**

X: **Καὶ μετὰ τοῦ πνεύματός σου.**

**Προετοιμασία διὰ τὴν Θεῖαν Κοινωνίαν**
**῾Η ᾿Εκτενὴς Δέησις πρὸ τοῦ Πάτερ ἡμῶν**

I: **Πάντων τῶν ῾Αγίων μνημονεύσαντες,**
**ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **῾Υπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων**
**τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **῞Οπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος**
**αὐτὰ εἰς τὸ ἅγιον και ὑπερουράνιον καὶ νοερὸν**
**αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας**
**πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν**
**καὶ τὴν δωρεὰν τοῦ ῾Αγίου Πνεύματος, δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **῾Υπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς,**
**κινδύνου καὶ ἀνάγκης,τοῦ Κυρίου δεηθῶμεν.**
X: **Κύριε, ἐλέησον.**

I: **᾿Αντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς,**
**ὁ Θεός, τῇ σῇ χάριτι.**
X: **Κύριε, ἐλέησον.**

I: **Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.**
X: **Παράσχου, Κύριε.**

I: **Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.**
X: **Παράσχου, Κύριε.**

I: **Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.**
X: **Παράσχου, Κύριε.**

I: **Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.**
X: **Παράσχου, Κύριε.**

I: **Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.**
X: **Παράσχου, Κύριε.**

I: **Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.**
X: **Παράσχου, Κύριε.**

I: **Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ Ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτούς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.**
X: **Σοί, Κύριε.**

I: Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν, καὶ τὴν ἐλπίδα, Δεσπότα φιλάνθρωπε, καὶ παρακαλοῦμέν σε καί δεόμεθα καὶ ἱκετεύομεν· καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ φρικτῶν Μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς Τραπέζης, μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος Ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.

**Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας, ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεόν, Πατέρα, καὶ λέγειν...**

ΟΛΟΙ:

**Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς·**
**ἁγιασθήτω τὸ ὄνομά σου·**
**ἐλθέτω ἡ βασιλεία σου·**
**γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ**
**καὶ ἐπι τῆς γῆς.**
**Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον·**
**καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν**
**ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν·**
**καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,**
**ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.**

I: **Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**

I: **Εἰρήνη πᾶσι.**

X: **Καὶ τῷ πνεύματί σου.**

I: **Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.**

X: **Σοί, Κύριε.**

I: Εὐχαριστοῦμέν σοι, Βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών. Αὐτός, Δέσποτα, οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς. Οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοί, τῷ φοβερῷ Θεῷ. Σὺ οὖν, Δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον, κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν...

**Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Χ: **Ἀμήν.**

I: Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος καὶ ὧδε ἡμῖν ἀοράτως συνών. Καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου καὶ τοῦ τιμίου Αἵματος, καὶ δι᾽ ἡμῶν παντὶ τῷ λαῷ.

Ὁ Ἱερεὺς προσκυνεῖ τρὶς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, λέγων καθ᾽ ἑαυτόν.

I: Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησον με. (3)

**Πρόσχωμεν!**

Ὁ Ἱερεὺς προσκλίνων μικρὸν καὶ λαβὼν τὸν ἅγιον Ἄρτον δι᾽ ἀμφοτέρων τῶν χειρῶν, ὑψώνει αὐτόν, καὶ ποιῶν σχῆμα σταυροῦ, ἐκφωνεῖ μετὰ σεβασμοῦ καὶ εὐλαβείας.

I: **Τὰ ἅγια τοῖς ἁγίοις!**

Χ: **Εἷς ἅγιος, εἷς Κύριος,**
**᾿Ιησοῦς Χριστός,**
**εἰς δόξαν Θεοῦ Πατρός.᾿Αμήν.**

## Τὸ Κοινωνικόν

Χ: **Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν.**
**Αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.**
**᾿Αλληλούϊα. ᾿Αλληλούϊα. ᾿Αλληλούϊα.**

῾Ο ᾿Αμνὸς ἔχει σφραγίδα: IC XC = **᾿Ιησοῦς Χριστὸς**
NI KA = **νικᾶ.**

῾Ο ῾Ιερεὺς μελίζει τὸν καθηγιασμένον ᾿Αμνὸν εἰς τέσσερα τεμάχια λέγων.

I: Μελίζεται καὶ διαμερίζεται ὁ ᾿Αμνὸς τοῦ Θεοῦ,
ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος·
ὁ πάντοτε ἐσθιόμενος, καὶ μηδέποτε δαπανώμενος,
ἀλλὰ τοὺς μετέχοντας ἁγιάζων.

῾Ο ῾Ιερεὺς ἐναποθέτει τὰ τέσσερα τεμάχια ἐπὶ τοῦ Δίσκου εἰς σχῆμα σταυροῦ, οὕτως.

IC .................... Τὴν μερίδα αὐτὴν ἐμβάλλει εἰς τὸ Ποτήριον

NI KA ........... ᾿Εκ τῶν μερίδων αὐτῶν κοινωνεῖ ὁ λαός

XC ..................... ᾿Εκ τῆς μερίδος αὐτῆς κοινωνεῖ ὁ κλῆρος

῾Ο ῾Ιερεύς, λαβὼν τὴν μερίδα IC, ποιεῖ μὲ αὐτὴν σταυρὸν ἄνωθι τοῦ Ποτηρίου καὶ ἐμβάλλει αὐτὴν εἰς τὸ ἅγιον Ποτήριον, λέγων.

Πλήρωμα ποτηρίου, πίστεως, Πνεύματος Ἁγίου. ᾿Αμήν.

῾Ο ῾Ιερεύς, λαβὼν καὶ εὐλογῶν τὸ Ζέον, λέγει.

Εὐλογημένη ἡ ζέσις τῶν ῾Αγίων σου, πάντοτε·
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

Ὁ Ἱερεὺς ἐγχέει εἰς τὸ ἅγιον Ποτήριον σταυροειδῶς τὸ ἀρκοῦν ζέον καὶ λέγει.

Ζέσις πίστεως, πλήρης Πνεύματος Ἁγίου. Ἀμήν.

Ὁ Ἱερεύς, ὑποκλίνας τὴν κεφαλήν, ἀναγινώσκει εὐλαβῶς τὰς Εὐχὰς τῆς θείας Κοινωνίας.

## Προσευχαὶ τῆς Θείας Κοινωνίας

ΟΛΟΙ:

Πιστεύω, Κύριε, καὶ ὁμολογῶ ὅτι σὺ εἶ ἀληθῶς ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτος εἰμι ἐγώ. Ἔτι πιστεύω ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον Σῶμά σου καὶ τοῦτο αὐτὸ ἐστι τὸ τίμιον Αἷμά σου. Δέομαι οὖν σου· ἐλέησόν με καὶ συγχώρησόν μοι τὰ παραπτώματά μου, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατα-κρίτως μετασχεῖν τῶν ἀχράντων σου Μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Ἀμήν.

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω καθάπερ ὁ Ἰούδας· ἀλλ᾽ ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Μὴ εἰς κρίμά μοι γένοιτο ἡ κοινωνία τῶν ἁγίων Σου Μυστηρίων, ἀλλ᾽ εἰς ἴασιν ψυχῆς τε καὶ σώματος.

᾿Ενῷ ὁ Χορὸς ἔτι ψάλλει τὸ Κοινωνικόν, ὁ ῾Ιερεύς, στραφεὶς πρὸς τὸν λαόν, λέγει.

**᾿Αδελφοί, συγχωρήσατέ μοι.**

῾Ο ῾Ιερεὺς πλησιάζει εἰς τὰ ῞Αγια καὶ λέγει.

᾿Ιδοὺ προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

῎Επειτα λαμβάνει ἕν μέρος ἐκ τοῦ ἁγίου ῎Αρτου φέρων τὰ γράμματα ΧС, καὶ μεταλαμβάνει αὐτοῦ, λέγων.

Μεταδίδοταί μοι ........ τῷ ἀναξίῳ ἱερεῖ, τὸ τίμιον καὶ πανάγιον Σῶμα τοῦ Κυρίου καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν ᾿Ιησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. ᾿Αμήν.

῎Επειτα λαμβάνει τὸ Ποτήριον καὶ τὸ κάλυμμα, λέγων.

῎Ετι μεταδίδοταί μοι ........ τῷ ἀναξίῳ ἱερεῖ, τὸ τίμιον καὶ πανάγιον καὶ ζωηρὸν Αἷμα τοῦ Κυρίου καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν ᾿Ιησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. ᾿Αμήν.

῾Ο ῾Ιερεὺς μεταλαμβάνει τρεῖς φορὲς ἐκ τοῦ ἁγίου Ποτηρίου λέγων.

Εἰς τὸ ὄνομα τοῦ Πατρός. ᾿Αμήν.
Καὶ τοῦ Υἱου. ᾿Αμήν.
Καὶ τοῦ ῾Αγίου Πνεύματος.
Νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

῾Ο ῾Ιερεὺς ἀποσπογγίσας διὰ τοῦ καλύμματος τὰ ἴδια χείλη καὶ τὸ Ποτήριον λέγει.

Τοῦτο ἥψατο τῶν χειλέων μου, καὶ ἀφελεῖ τὰς ἀνομίας μου καὶ τὰς ἁμαρτίας μου περικαθαριεῖ.

῾Ο ᾿Ιερεὺς ἐμβάλλει τὰ ὑπόλοιπα τμήματα τοῦ ἁγίου Σώματος εἰς τὸ Ποτήριον διὰ τὴν κοινωνίαν τοῦ λαοῦ, καὶ λέγει.

᾿Ανάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν
ἅγιον, Κύριον ᾿Ιησοῦν, τὸν μόνον ἀναμάρτητον.
Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν
καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν·
σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν,

τὸ ὄνομά σου ὀνομάζομεν.

Δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δί ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλὴμ,
ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε.
Χόρευε νῦν, καὶ ἀγάλλου Σιών,
σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε,
ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ὢ θείας, ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς·
μεθ' ἡμῶν ἀψευδῶς γάρ, ἐπηγγείλω ἔσεσθαι,
μέχρι τερμάτων αἰῶνος Χριστέ·
ἣν οἱ πιστοί, ἄγκυραν ἐλπίδος,
κατέχοντες ἀγαλλόμεθα.

Ὢ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστέ·
ὢ σοφία καὶ Λόγε, τοῦ Θεοῦ καὶ δύναμις,
δίδου ἡμῖν ἐκτυπώτερον σοῦ μετασχεῖν,
ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς βασιλείας σου.

Ἀνοίγεται ἡ Ὡραία Πύλη καὶ ὁ Ἱερεὺς ὑψώνει τὸ ἅγιον Ποτήριον πρὸς τὸν λαὸν καὶ λέγει.

I: **Μετὰ φόβου Θεοῦ,
πίστεως καὶ ἀγάπης προσέλθετε!**

X: **Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν!
Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου!**

Οἱ ἑτοιμασμένοι Ὀρθόδοξοι πιστοὶ προσέρχονται ἕνας ἕνας μὲ εὐλάβεια νὰ κοινωνήσουν. Εἰς ἕκαστον πρόσωπον ὁ Ἱερεὺς λέγει.

I: Μεταλαμβάνει ὁ δοῦλος (ἡ δούλη) τοῦ Θεοῦ ..........
τὸ Σῶμα καὶ τὸ Αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

Κατὰ τὴν διάρκειαν τῆς θείας Κοινωνίας ὁ Χορὸς ψάλλει.

Χ: **Σῶμα Χριστοῦ μεταλάβετε,**
**πηγῆς ἀθανάτου γεύσασθε!**
**Ἀλληλούϊα, Ἀλληλούϊα. Ἀλληλούϊα.**

Ἀφοῦ κοινωνήσουν οἱ πιστοί, ὁ Ἱερεὺς εὐλογεῖ τὸν λαὸν μετὰ τοῦ καλυμμένου ἁγίου Ποτηρίου καὶ λέγει.

Ι: **Σῶσον, ὁ Θεός, τὸν λαόν σου**
**καὶ εὐλόγησον τὴν κληρονομίαν σου!**

Χ: **Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν,**
**ἐλάβομεν πνεῦμα ἐπουράνιον,**
**εὕρομεν πίστιν ἀληθῆ,**
**ἀδιαίρετον Τριάδα προσκυνοῦντες·**
**αὕτη γὰρ ἡμᾶς ἔσωσεν.**

Εἰς τὰς μεγάλας ἑορτὰς ψάλλεται τὸ τροπάριον τῆς ἑορτῆς.

Τὴν περίοδον τοῦ Πάσχα

Χ: Χριστὸς ἀνέστη ἐκ νεκρῶν
θανάτῳ θάνατον πατήσας,
καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Ὁ Ἱερεὺς εἰσκομίζει εἰς τὸ ἅγιον Ποτήριον τὰς μερίδας τῆς Θεοτόκου, τῶν Ἁγίων, καὶ τῶν μνημονευθέντων ζώντων καὶ τεθνεώτων, καλύπτει καὶ θυμιᾶ τὸ Ἅγιον Ποτήριον λέγων τρίς.

Ι: Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός,
καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. (3)

Ὁ Ἱερεύς, λαβὼν τὸ ἅγιον Ποτήριον κεκαλυμμένον καὶ τὸ Δισκάριον μὲ τὰ καλύμματα, λέγει πρὸ τῆς ἁγίας Τραπέζης.

**Εὐλογητὸς ὁ Θεὸς ἡμῶν,**

Καὶ στραφεὶς πρὸς τὸν λαόν, λέγει.

**πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Χ: **Ἀμήν.**

Ὁ Ἱερεὺς προχωρεῖ πρὸς τὴν Πρόθεσιν ὅπου ἀποθέτει καὶ θυμιᾷ τὰ Τίμια Δῶρα.

Χ: **Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεως, Κύριε,**
**ὅπως ἄν ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας**
**ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν Μυστηρίων·**
**τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ,**
**ὅλην τὴν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου.**
**Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.**

> Τὴν περίοδον τοῦ Πάσχα
>
> Χ: Χριστὸς ἀνέστη ἐκ νεκρῶν
> θανάτῳ θάνατον πατήσας,
> καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Ὁ Ἱερεὺς ἐπιστρέφει εἰς τὴν ἁγίαν Τράπεζαν καὶ διπλώνει τὸ Ἀντιμήνσιον, λέγων.

Ι: **Ὀρθοί·**
**Μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ Μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.**

Χ: **Κύριε, ἐλέησον.**

Ι: **Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.**

Χ: **Κύριε, ἐλέησον.**

I: **Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.**

X: **Σοί, Κύριε.**

I: Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων Μυστηρίων. Ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν, στήριξον πάντας ἡμᾶς ἐν τῷ φόβῳ σου· φρούρησον ἡμῶν τὴν ζωήν, ἀσφάλισαι ἡμῶν τὰ διαβήματα· εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν Ἁγίων σου.

Ὁ Ἱερεὺς λαμβάνει τὸ ἅγιον Εὐαγγέλιον, ποιεῖ δι᾽ αὐτοῦ σταυρὸν ἐπάνω τοῦ διπλωθέντος ἤδη Ἀντιμηνσίου, καὶ στραφεὶς πρὸς τὸν λαόν, λέγει.

I: **Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**

Ὁ Ἱερεὺς ἐναποθέτει τὸ Εὐαγγέλιον ἐπὶ τῆς Ἁγίας Τραπέζης καὶ στραφεὶς πρὸς τὸν λαόν, ἐκφωνεῖ.

I: **Ἐν εἰρήνῃ προέλθωμεν.**

X: **Ἐν ὀνόματι Κυρίου.**

I: **Τοῦ Κυρίου δεηθῶμεν.**

X: **Κύριε, ἐλέησον.**

## Ἡ Ὀπισθάμβωνος Εὐχή

I: **Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς ἄρχουσι, τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθεν ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· Καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**
**Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον**
**ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.** (3)

Τὴν περίοδον τοῦ Πάσχα

X: Χριστὸς ἀνέστη ἐκ νεκρῶν
θανάτῳ θάνατον πατήσας,
καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωήν χαρισάμενος. (3)

Ὁ Ἱερεὺς ἐπιστρέφει εἰς τὸ ἱερὸν Βῆμα, καὶ βλέπων πρὸς τὴν Πρόθεσιιν λέγει.

I: Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν αὐτὸς ὑπάρχων, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν τὴν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Ἡ Τελικὴ Εὐλογία

I: **Τοῦ Κυρίου δεηθῶμεν.**

X: **Κύριε, ἐλέησον.**

Ὁ Ἱερεύς, εὐλογῶν τὸν λαόν, λέγει.

I: **Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ᾽ ὑμᾶς**
**τῇ αὐτοῦ θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε,**
**νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**

Ὁ Ἱερεύς, βλέπων πρὸς τὴν εἰκόνα τοῦ Χριστοῦ, λέγει.

I: **Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.**

X: **Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι,**
**νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**
**Κύριε, ἐλέησον.** (3)
**Πάτερ ἅγιε εὐλόγησον.**

Τὴν περίοδον τοῦ Πάσχα

X: Χριστὸς ἀνέστη ἐκ νεκρῶν
θανάτῳ θάνατον πατήσας,
καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος. (3)

I: **Ὁ ἀναστὰς ἐκ νεκρῶν** (ἢ τὸ χαρακτηριστικὸν τῆς ἑορτῆς) **Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων, ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυστοστόμου, οὗ καὶ τὴν θείαν μυσταγωγίαν σήμερον ἐπιτελέσαμεν, τοῦ Ἁγίου** (τοῦ Ναοῦ)**, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου** (τῆς ἡμέρας) **οὗ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.**

Ὁ Ἱερεύς, βλέπων πρὸς τὴν εἰκόνα τοῦ Ἰησοῦ Χριστοῦ, λέγει.

I: **Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν,**
**Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν,**
**ἐλέησον καὶ σῶσον ἡμᾶς.**

X: **Ἀμήν.**

Ὁ Ἱερεύς, εὐλογῶν τὸν λαὸν διὰ τοῦ Σταυροῦ, λέγει.

I: **Ἡ Παναγία Τριὰς διαφυλάξοι πάντας ὑμᾶς,**
**πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς**
**αἰῶνας τῶν αἰώνων.**

X: **Ἀμήν.**

## Τὸ Ἀντίδωρον

Ὁ Ἱερεὺς προσφέρει τὸν τίμιον Σταυρὸν πρὸς ἀσπασμὸν ὑπὸ τῶν πιστῶν, καὶ διανέμει τὸ Ἀντίδωρον λέγων.

Ι: Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐπὶ σέ.

Εἰς δὲ τὸν τελευταίως λαβόντα Ἀντίδωρον λέγει.

Ι: Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐπὶ σέ,
τῇ αὐτοῦ θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε,
νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χ: Ἀμήν.

***

## Προσευχαὶ Εὐχαριστίας μετὰ τὴν Θείαν Μετάληψιν

**Ἀναγνώστης:** Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι. (3)

### Πρώτη Προσευχὴ τοῦ Ἁγίου Βασιλείου τοῦ Μεγάλου

Εὐχαριστῶ σοι, Κύριε ὁ Θεός μου, ὅτι οὐκ ἀπώσω με τὸν ἁμαρτωλόν, ἀλλὰ κοινωνόν με γενέσθαι τῶν ἁγιασμάτων σου κατηξίωσας. Εὐχαριστῶ σοι, ὅτι με τὸν ἀνάξιον μεταλαβεῖν τῶν ἀχράντων σου καὶ ἐπουρανίων δωρεῶν κατηξίωσας. Ἀλλά, Δέσποτα φιλάνθρωπε, ὁ ὑπὲρ ἡμῶν ἀποθανών τε καὶ ἀναστάς, καὶ χαρισάμενος ἡμῖν τὰ φρικτὰ ταῦτα καὶ ζωοποιά σου μυστήρια, ἐπ᾿ εὐεργεσίᾳ καὶ ἁγιασμῷ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, δὸς γενέσθαι ταῦτα κἀμοὶ εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς φωτισμὸν τῶν ὀφθαλμῶν τῆς καρδίας μου, εἰς εἰρήνην τῶν ψυχικῶν μου δυνάμεων, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς προσθήκην τῆς θείας σου χάριτος, καὶ τῆς σῆς βασιλείας οἰκείωσιν· ἵνα, ἐν τῷ ἁγιασμῷ σου δι᾿ αὐτῶν φυλαττόμενος, τῆς σῆς χάριτος μνημονεύω διαπαντός, καὶ μηκέτι ἐμαυτῷ ζῶ, ἀλλὰ σοὶ τῷ ἡμετέρῳ Δεσπότῃ καὶ εὐεργέτῃ. Καὶ οὕτω τοῦ τῇδε βίου ἀπάρας ἐπ᾿ ἐλπίδι ζωῆς αἰωνίου, εἰς τὴν ἀΐδιον καταντήσω ἀνάπαυσιν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος, καὶ ἡ ἀπέραντος ἡδονὴ τῶν καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄρρητον. Σὺ γὰρ εἶ τὸ ὄντως ἐφετόν, καὶ ἡ ἀνέκφραστος εὐφροσύνη τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας. Ἀμήν.

### Δευτέρα Προσευχὴ τοῦ Ἁγίου Βασιλείου τοῦ Μεγάλου

Δέσποτα Χριστὲ ὁ Θεός, βασιλεῦ τῶν αἰώνων, καὶ δημιουργὲ τῶν ἁπάντων, εὐχαριστῶ σοι ἐπὶ πᾶσιν, οἷς παρέσχου μοι ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων

καὶ ζωοποιῶν σου μυστηρίων. Δέομαι οὖν σου, ἀγαθὲ καὶ φιλάνθρωπε· φύλαξόν με ὑπὸ τὴν σκέπην σου, καὶ ἐν τῇ τῶν πτερύγων σου σκιᾷ· καὶ δώρησαί μοι ἐν καθαρῷ συνειδότι, μέχρις ἐσχάτης μου ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον. Σὺ γὰρ εἶ ὁ ἄρτος τῆς ζωῆς, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, ὁ δοτὴρ τῶν ἀγαθῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Τρίτη Προσευχὴ τοῦ Ἁγίου Συμεὼν τοῦ Μεταφραστοῦ

Ὁ δοὺς τροφήν μοι σάρκα σὴν ἑκουσίως,
ὁ πῦρ ὑπάρχων, καὶ φλέγων ἀναξίους,
μὴ δὴ καταφλέξῃς με, μή, πλαστουργέ μου·
μᾶλλον δίελθε πρὸς μελῶν μου συνθέσεις,
εἰς πάντας ἁρμούς, εἰς νεφρούς, εἰς καρδίαν.
Φλέξον δ᾽ ἀκάνθας τῶν ὅλων μου πταισμάτων·
ψυχὴν κάθαρον, ἁγίασον τὰς φρένας·
τὰς ἰγνύας στήριξον, ὀστέοις ἅμα·
αἰσθήσεων φώτισον ἁπλῆν πεντάδα·
ὅλον με τῷ σῷ συγκαθήλωσον φόβῳ.
Ἀεὶ σκέπε, φρούρει τε καὶ φύλαττέ με
ἐκ παντὸς ἔργου, καὶ λόγου ψυχοφθόρου.
Ἅγνιζε, καὶ κάθαρε, καὶ ρύθμιζέ με·
κάλλυνε, συνέτιζε, καὶ φώτιζέ με·
δεῖξόν με σὸν σκήνωμα Πνεύματος μόνου,
καὶ μηκέτι σκήνωμα τῆς ἁμαρτίας·
ἵν᾽ ὡς σὸν οἶκον, εἰσόδῳ κοινωνίας,
ὡς πῦρ με φεύγῃ πᾶς κακοῦργος, πᾶν πάθος.
Πρέσβεις φέρω σοι πάντας ἡγιασμένους,
τὰς ταξιαρχίας τε τῶν Ἀσωμάτων,
τὸν Πρόδρομόν σου, τοὺς σοφοὺς Ἀποστόλους,
πρὸς τοῖς δέ, σὴν ἄχραντον ἁγνὴν Μητέρα·
ὧν τὰς λιτάς, εὔσπλαγχνε, δέξαι Χριστέ μου,
καὶ φωτὸς παῖδα, τὸν σὸν ἔργασαι λάτριν.

Σὺ γὰρ ὑπάρχεις ἁγιασμὸς, καὶ μόνος
ἡμῶν, ἀγαθέ, τῶν ψυχῶν, καὶ λαμπρότης,
καὶ σοὶ πρεπόντως, ὡς Θεῷ καὶ Δεσπότῃ,
δόξαν ἅπαντες πέμπομεν καθ᾽ ἡμέραν.

**Τετάρτη Προσευχὴ τοῦ Ἁγίου Κυρίλλου Ἀλεξανδρείας**

Τὸ Σῶμα σου τὸ ἅγιον, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, γένοιτό μοι εἰς ζωὴν αἰώνιον, καὶ τὸ Αἷμα σου τὸ τίμιον, εἰς ἄφεσιν ἁμαρτιῶν. Γένοιτο δέ μοι ἡ εὐχαριστία αὕτη εἰς χαράν, ὑγείαν καὶ εὐφροσύνην· καὶ ἐν τῇ φοβερᾷ καὶ δευτέρᾳ ἐλεύσει σου ἀξίωσόν με τὸν ἁμαρτωλὸν στῆναι ἐκ δεξιῶν τῆς σῆς δόξης, πρεσβείαις τῆς παναχράντου σου Μητρός, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

**Πέμπτη Προσευχὴ εἰς τὴν Ὑπεραγίαν Θεοτόκον**

Παναγία Δέσποινα Θεοτόκε, τὸ φῶς τῆς ἐσκοτισμένης μου ψυχῆς, ἡ ἐλπίς, ἡ σκέπη, ἡ καταφυγή, ἡ παραμυθία, τὸ ἀγαλλίαμά μου, εὐχαριστῶ σοι, ὅτι ἠξίωσάς με τὸν ἀνάξιον κοινωνὸν γενέσθαι τοῦ ἀχράντου Σώματος καὶ τοῦ τιμίου Αἵματος τοῦ Υἱου σου. Ἀλλ᾽ ἡ τεκοῦσα τὸ ἀληθινὸν φῶς, φώτισόν μου τοὺς νοητοὺς ὀφθαλμοὺς τῆς καρδίας· ἡ τὴν πηγὴν τῆς ἀθανασίας κυήσασα, ζωοποίησόν με τὸν τεθανατωμένον τῇ ἁμαρτίᾳ· ἡ τοῦ ἐλεήμονος Θεοῦ φιλεύσπλαγχνος Μήτηρ, ἐλέησόν με, καὶ δὸς κατάνυξιν καὶ συντριβὴν ἐν τῇ καρδίᾳ μου, καὶ ταπείνωσιν ἐν τοῖς διανοήμασί μου, καὶ ἀνάκλησιν ἐν ταῖς αἰχμαλωσίαις τῶν λογισμῶν μου. Καὶ ἀξίωσόν με, μέχρι τελευταίας μου ἀναπνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τῶν ἀχράντων Μυστηρίων τὸν ἁγιασμόν, εἰς ἴασιν ψυχῆς τε καὶ σώματος· καὶ παράσχου μοι δάκρυα μετανοίας καὶ ἐξομολογήσεως, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Ὅτι εὐλογημένη καὶ δεδοξασμένη ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἀφοῦ συμπληρώσει τὴν διανομὴν τοῦ Ἀντιδώρου, ὁ Λειτουργὸς εἰσέρχεται εἰς τὸ Ἱερὸν καὶ ἐν τῇ Προθέσει καταλύει τὰ Τίμια Δῶρα

μετὰ πάσης προσοχῆς καὶ ἀσφαλείας. Μετὰ ἀποδύεται τὴν ἱερατικὴν αὐτοῦ στολὴν λέγων.

**I:** Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα,
κατὰ τὸ ρῆμά σου ἐν εἰρήνῃ·
ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου,
ὅ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν·
φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

**A:** Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος,
ἐλέησον ἡμᾶς. (3)
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι,
καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.
Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν·
Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν·
Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν,
ἕνεκεν τοῦ ὀνόματός σου.
Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι,
καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου.
Ἐλθέτω ἡ βασιλεία σου.
Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον.
Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.
Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ρῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

**I:** Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα
τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος,
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**A:** Ἀμήν.

### Τὸ Τροπάριον τοῦ Ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου

**Α:** Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις,
τὴν οἰκουμένην ἐφώτισεν·
ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο·
τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν.
Ἀλλὰ σοῖς λόγοις παιδεύων,
πάτερ Ἰωάννη Χρυσόστομε,
πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ,
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

### Τὸ Κοντάκιον τοῦ Ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου

Ἐκ τῶν οὐρανῶν ἐδέξω τὴν θείαν χάριν,
καὶ διὰ τῶν σῶν χειλέων πάντας διδάσκεις,
προσκυνεῖν ἐν Τριάδι τὸν ἕνα Θεόν,
Ἰωάννη Χρυσόστομε, παμμακάριστε, ὅσιε.
Ἐπαξίως εὐφημοῦμέν σε·
ὑπάρχεις γὰρ καθηγητής, ὡς τὰ θεῖα σαφῶν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### Θεοτοκίον

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε,
μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε,
μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς,
ἀλλὰ πρόφθασον ὡς ἀγαθή,
εἰς τὴν βοήθειαν ἡμῶν τῶν πιστῶς καραυγαζόντων σοι·
Τάχυον εἰς πρεσβείαν καὶ σπεῦσον εἰς ἱκεσίαν,
ἡ προστατεύουσα ἀεί, Θεοτόκε,
τῶν τιμώντων σε.

Κύριε, ἐλέησον. (12)

**Χ:** Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι,
καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ
καὶ ἐνδοξοτέρα ἀσυγκρίτως τῶν Σεραφείφ,
τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνωμεν.

**Ι:** Δόξα σοι, Χριστὲ ὁ Θεὸς ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

**Χ:** Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι,
καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.
Πάτερ ἅγιε, εὐλόγησον.

Τὴν περίοδον τοῦ Πάσχα:

Χριστὸς ἀνέστη ἐκ νεκρῶν,
θανάτω θάνατον πατήσας,
καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενονς. (3)

**Ι:** Ὁ ἀναστὰς ἐκ νεκρῶν (ἤ ἄλλη κατάλληλος φράσις τῆς ἑορτῆς), Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώνου ἁγίας αὐτοῦ Μητρός· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντίνουπόλεως, τοῦ Χρυσοστόμου· τοῦ Ἁγίου... (τοῦ Ναοῦ), προστάτου τῆς κοινότητος ταύτης· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ Ἁγίου... (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ελεήμων Θεός.

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν,
ἐλέησον καὶ σῶσον ἡμᾶς.

**Χ:** Ἀμήν.

Ὁ Λειτουργὸς προσκυνήσας τὴν Ἁγίαν Τράπεζαν καὶ εὐχαριστήσας τῷ Θεῷ ἐπὶ πᾶσιν, ἐξέρχεται τοῦ ἱεροῦ Ναοῦ ἐν εἰρήνῃ.

***